Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

De actibus apostolorum.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

Anno Christi 787.

Ἐκ τῶν πράξεων τῶν ἁγίων ἀποστόλων.

Ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ. μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα.

Ἐκ τῆς τρίτης τῶν βασιλειῶν.

Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ· καὶ ἐπέστρεψε, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν. ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγίνετο ἱερεὺς εἰς τὰ ὑψηλά. καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοάμ, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς.

Ἐκ τῆς δ'. τῶν βασιλειῶν, περὶ τῆς λέπρας Γιεζῆ.

Καὶ ἐπέστρεψε Νεεμὰν πρὸς Ἐλισσαιὲ αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ· καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ εἶπεν· ἰδοὺ δὴ ἔγνωκα, ὅτι οὐκ ἔστι θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ' ἢ ἐν τῷ Ἰσραήλ. καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. καὶ εἶπεν Ἐλισσαιέ· ζῇ κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λή-

*De actibus apostolorum.* Cap. 8.

*Cum vidisset autem Simon, quia per impositionem manus apostolorum daretur Spiritus sanctus, obtulit eis pecuniam, dicens: Date & mihi hanc potestatem, ut cuicumque imposuero manus, accipiat Spiritum sanctum. Petrus autem dixit ad eum: Pecunia tua tecum sit in perditionem, quia donum Dei existimasti pecunia possidere. Non est tibi pars, neque sors in sermone isto: cor enim tuum non est rectum coram Deo. Pœnitentiam itaque age ab hac nequitia tua, & roga Deum, si forte remittatur tibi hæc cogitatio cordis tui. In felle enim amaritudinis & obligatione iniquitatis video te esse.*

*Ex libro tertio regnorum.* Cap. 13.

*Non est reuersus Ieroboam de via sua pessima, sed e contrario fecit de nouissimis populi sacerdotes excelsorum. Quicumque volebat, implebat manum suam & fiebat sacerdos excelsorum. & propter hanc causam peccauit domus Ieroboam, & euersa est, & deleta desuper facie terræ.*

*Ex libro quarto regnorum, de lepra Giezi.* Cap. 5.

*Reuersusque Naaman ad virum Dei cum uniuerso comitatu suo, venit & stetit coram eo, & ait: Vere scio quod non sit Deus alius in uniuersa terra, nisi tantum in Israel. Obsecro itaque, ut accipias benedictionem a seruo tuo. At ille respondit: Viuit Dominus, ante quem sto, quia non acci-*